6 ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ[28], καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος <θαυμαστός, σύμβουλος, θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος>[i, 29] ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, εἰρήνην καὶ ὑγίειαν αὐτῷ[30, 31].

7 μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον ἐπὶ τὸν θρόνον Δαυιδ καὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτὴν καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν δικαιοσύνῃ καὶ ἐν κρίματι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον· ὁ ζῆλος κυρίου σαβαωθ ποιήσει ταῦτα.

i ἄγγελος] θαυμαστός, σύμβουλος, θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος *add.* **O΄**. Этот вариант читается на паримии Рождества Христова

27 **MT**: כִּי כָל־סְאוֹן סֹאֵן בְּרַעַשׁ וְשִׂמְלָה מְגוֹלָלָה בְּדָמִים וְהָיְתָה לִשְׂרֵפָה מַאֲכֹלֶת אֵשׁ, «ибо всякий сапог, топающий с шумом, и одежда, обагрённая кровью, будут на сожжение, в пищу огню».

28 **A**: ἐγένετο τὸ μέτρον ἐπὶ τοῦ ὤμου αὐτοῦ, «стала мера его на плече его». **Σ Θ**: ἔσται ἡ παιδεία ἐπὶ τοῦ ὤμου αὐτοῦ, «будет воспитание/наказание его на плече его».

29 **MT**: פֶּלֶא יוֹעֵץ אֵל גִּבּוֹר אֲבִי־עַד שַׂר־שָׁלוֹם, «Чудный, Советник, Бог крепкий, Отец навсегда, князь мира (*šālôm*)».

30 Вариант: αὐτῶν.

31 Последнее предложение отсутствует в **MT**.

4 Посему отнимется ярмо, на них лежащее, и жезл, что на шее их, ибо жезл взыскивающих[42] разломал Господь, как в тот день, что на Мадиама.

5 Ибо всякую ризу, отобранную лестью, и одежду с выкупом воздадут[43], и захотят, чтобы были сожжены[44].

6 Ибо младенец родился нам, сын, и дался нам, которого начальство[45] стало на плече его[46]. И называется имя его: Великого совета ангел, <Чудный, Советник[47], Бог крепкий, Властитель, Начальник мира, Отец будущего века>[i], ибо я наведу мир на начальников, мир и здравие ему/их[48].

7 Велико начальство его, и миру его нет границы на престоле Давида, и царству его — исправить его и воспринять его справедливостью и судом отныне и на вечное время: ревность Господа Саваофа сотворит сие.

i Добавлено в **O´**

42 В папирусах глагол ἀπαιτέω используется в связи со сбором налогов (*Troxel R. L.* LXX-Isaiah as Translation and Interpretation: The Strategies of the Translator of the Septuagint of Isaiah. Leiden; Boston (Mass.), 2008. (Supplements to the Journal for the Study of Judaism; 124). P. 202–203).

43 И св. Василий, и св. Кирилл трактуют καταλλαγή (выкуп) через προσθήκη (прибыток), имея в виду лучшее состояние человека после освобождения из рабства греха, чем до грехопадения (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 225 // Op. cit. Col. 512; *Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 5 // Op. cit. Col. 253).

44 «Тогда они пожелают лучше быть сожжёнными огнём, нежели судимыми явлением Христовым во плоти» (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 225 // Op. cit. Col. 512). Хотят сгореть от зависти (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 5 // Op. cit. Col. 253).

45 **VT, Vg**: principatus, «начало», «преимущество», в Римской империи «власть» («принципат»); **Ge**: მთავრობა, «власть», «начальство»; **Eth**: ቀድሞት, «начало», «приоритет»; **Slav**: вла́сть. В связи с таким согласием дочерних переводов (а также **Pšṭ**: ܫܘܠܛܢ) и, насколько нам известно, толкователей, здесь имеется основание для отступления от буквы («начало») и перевода термина по его социальной семантике. См. также очевидную христологическую параллель в Пс. 109, 3.

46 Блж. Феодорит даёт здесь толкование на основе чтений Симмаха и Феодотиона, относя это к искупительным страданиям Христа Спасителя (*Theodoretus Cyrensis*. Commentaria in Isaiam I, 3, 820–835 // Op. cit. P. 324). Св. Иоанн Златоуст: Бог имеет начальство не от иного, но «от природы, как поистине самодостаточный» (*Joannes Chrysostomus*. Interpretatio in Isaiam prophetam (versio Armena) // Op. cit. Եջ 111).

47 Или: «Чудный советник».

48 «Здравие» — исцеление Христовой плоти после Распятия (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 226 // Op. cit. Col. 513). «О мире святых апостолов, который, как Свой, подал им Христос» (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 6 // Op. cit. Col. 256).

8 Θάνατον[32] ἀπέστειλε κύριος ἐπὶ Ιακωβ, καὶ ἦλθεν ἐπὶ Ισραηλ,

9 καὶ γνώσονται πᾶς ὁ λαὸς τοῦ Εφραιμ καὶ οἱ ἐγκαθήμενοι ἐν Σαμαρείᾳ, ἐφ᾽ ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες

10 Πλίνθοι πεπτώκασιν, ἀλλὰ δεῦτε λαξεύσωμεν λίθους καὶ ἐκκόψωμεν συκαμίνους καὶ κέδρους καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργον.

11 καὶ ῥάξει ὁ θεὸς τοὺς ἐπανιστανομένους ἐπ᾽ ὄρος Σιων ἐπ᾽ αὐτοὺς καὶ τοὺς ἐχθροὺς αὐτῶν διασκεδάσει,

12 Συρίαν ἀφ᾽ ἡλίου ἀνατολῶν καὶ τοὺς Ἕλληνας[33] ἀφ᾽ ἡλίου δυσμῶν τοὺς κατεσθίοντας τὸν Ισραηλ ὅλῳ τῷ στόματι. ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή

13 καὶ ὁ λαὸς οὐκ ἀπεστράφη, ἕως ἐπλήγη, καὶ τὸν κύριον οὐκ ἐξεζήτησαν.

14 καὶ ἀφεῖλε κύριος ἀπὸ Ισραηλ κεφαλὴν καὶ οὐράν, μέγαν καὶ μικρὸν[34] ἐν μιᾷ ἡμέρᾳ, πρεσβύτην καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας[35], αὕτη ἡ ἀρχή,

15 καὶ προφήτην διδάσκοντα ἄνομα, οὗτος ἡ οὐρά.

16 καὶ ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν τοῦτον πλανῶντες καὶ πλανῶσιν ὅπως καταπίωσιν αὐτούς.

17 διὰ τοῦτο ἐπὶ τοὺς νεανίσκους αὐτῶν οὐκ εὐφρανθήσεται ὁ θεὸς καὶ τοὺς ὀρφανοὺς αὐτῶν καὶ τὰς χήρας αὐτῶν οὐκ ἐλεήσει, ὅτι πάντες ἄνομοι καὶ πονηροί, καὶ πᾶν στόμα λαλεῖ ἄδικα. ἐπὶ πᾶσιν τούτοις οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή.

18 καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία καὶ ὡς ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ πυρός· καὶ καυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα.

19 διὰ θυμὸν ὀργῆς κυρίου συγκέκαυται ἡ γῆ ὅλη, καὶ ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κατακεκαυμένος[36]· ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει,

20 ἀλλὰ ἐκκλινεῖ εἰς τὰ δεξιά[37], ὅτι πεινάσει, καὶ φάγεται ἐκ τῶν ἀριστερῶν,

32 **A**: ῥῆμα; **Σ Θ**: λόγον = **MT**: דָּבָר, «слово». Но с другой огласовкой דֶּבֶר означает «мор», «эпидемия».

33 **MT**: וּפְלִשְׁתִּים, «и филистимлян».

34 **MT**: כִּפָּה וְאַגְמוֹן, «пальмовую ветвь и тростник».

35 **MT**: וְנָשׂוֹא־פָנִים, «и возносящий лицо» = **A**.

36 **MT**: וַיְהִי הָעָם כְּמַאֲכֹלֶת אֵשׁ, «и будет народ как бы пищею огня».

37 **MT**: וְיִגְזֹר עַל־יָמִין, «и будет резать по правую сторону».

8 Смерть/Слово[49] послал Господь на Иакова — и пришла/пришло на Израиля,

9 и узнает весь народ Ефрема и сидящие в Самарии, в наглости и возношении сердца говорящие:

10 Кирпичи пали, но приходите: вытешем камни, и вырубим сикоморы[50] и кедры, и построим себе башню.

11 И сокрушит Бог восстающих на гору Сион, на них, и врагов их рассеет,

12 Сирию от солнечных восходов, и еллинов от солнечных закатов, пожирающих Израиля всем ртом; во всех сих не отвратился гнев, но ещё рука высока,

13 и народ не отвратился — доколе [не] уязвился — и Господа не взыскали.

14 И отнял Господь от Израиля голову и хвост, великого и малого в один день, старейшину и лицам дивящихся[51] — это начало,

15 и пророка, учащего беззакониям — это хвост.

16 И будут ублажающие народ сей соблазняющими, и соблазняют они, чтобы поглотить их.

17 За то о юношах их не порадуется Бог, и сирот их и вдов их не помилует, ибо все беззаконны и лукавы и все уста произносят неправедное. Во всех сих не отвратился гнев, но ещё рука высока.

18 И возгорится, как огонь, беззаконие, и как полевая трава сухая, пожрётся огнём: и возгорится в чаще леса, и пожрёт кругом холмов всё.

19 От гнева ярости Господней сожжена земля вся, и будет народ, как огнём, пожжённый[52]: человек брата своего не помилует,

49 Вариант «слово» широко представлен. Согласно св. Василию, имеется в виду ипостасное Слово Отчее (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 227 // Op. cit. Col. 516). По св. Кириллу, «смерть» и «слово» имеют здесь общее значение суда, приговора (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 6 // Op. cit. Col. 260).

50 Возможен ещё перевод «тутовые деревья» (шелковица). Св. Василий Великий (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 227 // Op. cit. Col. 516) описывает это растение именно как сикомору с многочисленными безвкусными плодами.

51 То есть судящих по лицеприятию (Ibid. 229 // Op. cit. Col. 520; *Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 6 // Op. cit. Col. 269).

52 Св. Василий Великий читает так: «и будет народ, как огнём пожжённый человек» — и толкует это через 1 Кор. 3, 15, то есть речь идёт не об уничтожении, а об очищении ▶

καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἔσθων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ.

21 φάγεται γὰρ Μανασση τοῦ Εφραιμ καὶ Εφραιμ τοῦ Μανασση, ὅτι ἅμα πολιορκήσουσι τὸν Ιουδαν. ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή.

Ι΄

1 οὐαὶ τοῖς γράφουσι πονηρίαν· γράφοντες γὰρ πόνον γράφουσιν

2 ἐκκλίνοντες κρίσιν πτωχῶν, ἁρπάζοντες κρίμα πενήτων τοῦ λαοῦ μου ὥστε εἶναι αὐτοῖς χήραν εἰς ἁρπαγὴν καὶ ὀρφανὸν εἰς προνομήν.

3 καὶ τί ποιήσουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; ἡ γὰρ θλῖψις ὑμῖν πόρρωθεν ἥξει· καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθηθῆναι; καὶ ποῦ καταλείψετε τὴν δόξαν ὑμῶν

4 τοῦ μὴ ἐμπεσεῖν εἰς ἐπαγωγήν; <καὶ ὑποκάτω ἀνηρημένων πέσονται>[a] ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή.

5 Οὐαὶ Ἀσσυρίοις· ἡ ῥάβδος τοῦ θυμοῦ μου καὶ ὀργῆς ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν.

6 τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ καὶ τῷ ἐμῷ λαῷ συντάξω ποιῆσαι σκῦλα καὶ προνομὴν καὶ καταπατεῖν τὰς πόλεις καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν.

7 αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη καὶ τῇ ψυχῇ οὐχ οὕτως λελόγισται, ἀλλὰ ἀπαλλάξαι ὁ νοῦς αὐτοῦ καὶ τοῦ ἐξολεθρεῦσαι ἔθνη οὐκ ὀλίγα.

a ἐπαγωγήν] καὶ ὑποκάτω ἀνηρημένων πέσονται *add*. ※**Q**^{mg}, **Syh** (= **MT**)

20 но уклонится на правое, ибо взалчет, и поест от левого, и не насытится человек, едящий плоти руки его[53].

21 Поест ведь Манассия Ефрема и Ефрем Манассию, ибо вместе осаждать будут Иуду. Во всех сих не отвратился гнев, но ещё рука высока.

X

1 Горе пишущим лукавство, ибо пишущие труд пишут,

2 уклоняя суд нищих, похищая суд бедных народа Моего, чтобы быть им вдове в расхищение и сироте в разделение.

3 И что сотворят в день посещения? Ибо скорбь вам издалека придёт, и к кому прибегнете за помощью? И где оставите славу вашу,

4 чтобы не впасть в напасть?[54] <Под убиенными падут.>[i, 55] Во всех сих не отвратился гнев, но ещё рука высока.

5 Горе ассирийцам: жезл гнева моего и ярости в руках их.

6 Ярость мою на племя беззаконное пошлю, и моему народу прикажу сотворить добычу и разделение[56], и попрать города, и расточить их в пыль.

7 Сам же он так не помыслил, и в душе не так рассудил, но отрешился[57] ум его ещё истребить племена немалые.

i Добавлено в ※**Q**^{mg}, ※**Syh**

► (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 231 // Op. cit. Col. 521). Впрочем, следующий стих он тоже начинает со слова ἄνθρωπος.

53 Св. Василий понимает это как сказанное о пожирающем брата (Ibid. // Op. cit. Col. 524), св. Иоанн Златоуст — как о едящем собственную плоть (*Joannes Chrysostomus*. Interpretatio in Isaiam prophetam (versio Armena) // Op. cit. Էջ 120).

54 «Когда от Бога находит на прегрешающих праведное, кто отвратит?» (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 6 // Op. cit. Col. 280).

55 Толкование: падут ещё ниже, чем те, кого убили они (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 233 // Op. cit. Col. 525).

56 Объяснение греч. терминов σκῦλα (трофеи) и προνομή (делёж добычи) см.: Ibid. 234 // Op. cit. Col. 529. По грамматическому смыслу создаётся впечатление, что «мой народ» здесь — это ассирийцы, и именно так толкует этот отрывок св. Иероним (*Hieronymus Stridoniensis*. Commentarius in Isaiam prophetam IV, 10 // PL. 24. Col. 135–136).

57 «Вознёсся умом и отрешил от своей мысли истинный логос» (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 235 // Op. cit. Col. 530–532).

8 καὶ ἐὰν εἴπωσιν αὐτῷ Σὺ μόνος εἶ ἄρχων,

9 καὶ ἐρεῖ Οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος καὶ Χαλαννη, οὗ ὁ πύργος ᾠκοδομήθη; καὶ ἔλαβον Ἀραβίαν καὶ Δαμασκὸν καὶ Σαμάρειαν·

10 ὃν τρόπον ταύτας ἔλαβον, καὶ πάσας τὰς χώρας λήμψομαι. ὀλολύξατε τὰ γλυπτὰ ἐν Ιερουσαλημ καὶ ἐν Σαμαρείᾳ·

11 ὃν τρόπον γὰρ ἐποίησα Σαμαρείᾳ καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτως ποιήσω καὶ Ιερουσαλημ καὶ τοῖς εἰδώλοις αὐτῆς.

12 καὶ ἔσται ὅταν συντελέσῃ κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιων καὶ ἐν Ιερουσαλημ, ἐπάξει ἐπὶ τὸν νοῦν τὸν μέγαν, τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ.

13 εἶπε γάρ Τῇ ἰσχύι ποιήσω καὶ τῇ σοφίᾳ τῆς συνέσεως, ἀφελῶ ὅρια ἐθνῶν καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω

14 καὶ σείσω πόλεις κατοικουμένας καὶ τὴν οἰκουμένην ὅλην καταλήμψομαι τῇ χειρὶ ὡς νοσσιὰν καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με ἢ ἀντείπῃ μοι.

15 μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; ὡσαύτως ἐάν τις ἄρῃ ῥάβδον ἢ ξύλον. καὶ οὐκ οὕτως,

16 ἀλλὰ ἀποστελεῖ κύριος σαβαωθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται·

17 καὶ ἔσται τὸ φῶς τοῦ Ισραηλ εἰς πῦρ καὶ ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ[38] καὶ φάγεται ὡσεὶ χόρτον τὴν ὕλην[39].

18 τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ ὄρη καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοί, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν· καὶ ἔσται ὁ φεύγων ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης·

19 καὶ οἱ καταλειφθέντες ἀπ᾽ αὐτῶν ἔσονται ἀριθμός, καὶ παιδίον γράψει αὐτούς.

20 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκέτι προστεθήσεται τὸ καταλειφθὲν Ισραηλ, καὶ οἱ σωθέντες τοῦ Ιακωβ οὐκέτι μὴ πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς, ἀλλ᾽ ἔσονται πεποιθότες ἐπὶ τὸν θεὸν τὸν ἅγιον τοῦ Ισραηλ τῇ ἀληθείᾳ,

38 **MT**: וְקִדּוֹשׁוֹ לְלֶהָבָה, «и Святой его [будет] пламенем».

39 **MT**: וְאָכְלָה שִׁיתּוֹ וּשְׁמִירוֹ בְּיוֹם אֶחָד, «и пожрет терны его и волчцы его в один день».

8 И если скажут ему: Ты один начальник,

9 и скажет: Не взял (ли) я страну выше Вавилона и Халанне, в котором башня построена? И взял я Аравию, и Дамаск, и Самарию.

10 Так же, как эти взял я, и все страны возьму. Возопите, изваяния в Иерусалиме и в Самарии!

11 Ведь так же, как сотворил я Самарии и истуканам её, так сотворю и Иерусалиму, и идолам его.

12 И будет: когда совершит Господь, всё творящий на горе Сионе и в Иерусалиме, наведёт на ум великий начальника Ассирийского, и на высоту славы очей его.

13 Ибо сказал он: Крепостию сотворю, и мудростью разумения, отниму пределы племён, и крепость их разделю,

14 и потрясу города обитаемые, и вселенную целую захвачу рукой, как гнездо, и, как оставленные яйца, возьму, и нет того, кто избежит меня или станет прекословить мне.

15 Разве прославится топор без рубящего им? Или вознесётся пила без тянущего её? Так же если кто возьмёт жезл или палку. И не так[58],

16 но пошлёт Господь Саваоф на твою честь бесчестие, и на твою славу огонь горящий возгорится.

17 И будет свет Израиля огнём, и освятит его в огне горящем, и пожрёт, как траву, чащобу.

18 В день тот угаснут горы, и холмы, и леса; и поестся [всё] от души до плотей. И будет бежащий как бежащий от пламени горящего[a].

19 И оставшиеся от них будут числом, и младенец запишет их.

20 И будет в день тот: уже не продолжит[59] остаток Израилев, и спасённые Иакова уже не понадеются на обижавших их, но будут надеющимися на Бога, Святаго Израилева, истиною,

a Ср. 1 Кор 3, 15

58 «Не будешь впредь нужен мне» (*Joannes Chrysostomus*. Interpretatio in Isaiam prophetam (versio Armena) // Op. cit. Ⱡϙ 126). «Но не будет так, говорит, как ты полагаешь» (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 6 // Op. cit. Col. 289).

59 «Не продолжит» оставаться у демонов, которые заманили его, как работорговцы заманивают к себе детей (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 245 // ►

21 καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ιακωβ ἐπὶ θεὸν ἰσχύοντα.

22 καὶ ἐὰν γένηται ὁ λαὸς Ισραηλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται· λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ[40],

23 ὅτι λόγον συντετμημένον[41] ποιήσει ὁ θεὸς ἐν τῇ οἰκουμένῃ ὅλῃ.

24 Διὰ τοῦτο τάδε λέγει κύριος σαβαωθ Μὴ φοβοῦ, ὁ λαός μου οἱ κατοικοῦντες ἐν Σιων, ἀπὸ Ἀσσυρίων, ὅτι ἐν ῥάβδῳ πατάξει σε· πληγὴν γὰρ ἐγὼ ἐπάγω ἐπὶ σὲ τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου.

25 ἔτι γὰρ μικρὸν καὶ παύσεται ἡ ὀργή, ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν·

26 καὶ ἐπεγερεῖ ὁ θεὸς ἐπ᾽ αὐτοὺς κατὰ τὴν πληγὴν τὴν Μαδιαμ ἐν τόπῳ θλίψεως, καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν εἰς τὴν ὁδὸν τὴν κατ᾽ Αἴγυπτον.

27 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀφαιρεθήσεται ὁ φόβος αὐτοῦ ἀπὸ σοῦ καὶ ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου, καὶ καταφθαρήσεται ὁ ζυγὸς ἀπὸ τῶν ὤμων ὑμῶν[42].

28 ἦξει γὰρ εἰς τὴν πόλιν Αγγαι

29 καὶ παρελεύσεται εἰς Μαγεδω καὶ ἐν Μαχμας θήσει τὰ σκεύη αὐτοῦ· καὶ παρελεύσεται φάραγγα καὶ ἥξει εἰς Αγγαι, φόβος λήμψεται Ραμα πόλιν Σαουλ· φεύξεται

30 ἡ θυγάτηρ Γαλλιμ, ἐπακούσεται Λαισα, ἐπακούσεται Αναθωθ·

31 ἐξέστη Μαδεβηνα καὶ οἱ κατοικοῦντες Γιββιρ·

40 **MT**: כִּלָּיוֹן חָרוּץ שׁוֹטֵף צְדָקָה, «ибо истребление определено изобилующею правдою».

41 **MT**: כָּלָה וְנֶחֱרָצָה, «исполнение и предначертание».

42 **MT**: מִפְּנֵי־שָׁמֶן, «от лица елея».

21 и будет остаток Иакова — на Бога возмогающего[60].

22 И если бы стал народ Израиля как песок морской, остаток спасётся, ведь слово совершает и сокращает[61] в справедливости,

23 ибо слово сокращённое сотворит Бог во вселенной целой.

24 Зато вот что говорит Господь Саваоф: Не бойся, народ мой, обитающие в Сионе, Ассириян, ибо жезлом [я] поражу тебя: язву ведь я наведу на тебя — видеть путь египетский[62].

25 Ибо ещё мало, и удержится ярость, гнев же мой на совет их.

26 И воздвигнет Бог на них, как язву мадиамскую, на месте скорби, и гнев его по пути к морю, в путь к Египту[63].

27 И будет в день тот: отнимется страх его от тебя, и ярмо его с плеча твоего, и истлеет ярмо с плечей ваших[64].

28 Итак, придёт он в город Аггай:

29 и пройдёт в Магедо, и в Махмасе положит сосуды свои, пройдёт дебрь, и придёт в Аггай. Страх охватит Раму, город Саулов. Побежит

30 дочь Галлимова, прислушается Лайса, прислушается Анафоф.

31 Затрепещет Мадевина и обитатели Гиввира.

► Op. cit. Col. 549). «Отстанут от древнего заблуждения» (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 6 // Op. cit. Col. 293). Глагол προστίθημι, здесь употреблённый, в классическом языке буквально означает «приложить»/«приложиться», «пристать», однако в языке Септуагинты часто — «продолжать», «повторять», в каковом значении он уже встречался нам в Ис. 1, 5.13.

60 «Его сделают они своей крепостью» (Ibid. // Op. cit. Col. 293).

61 Συντέμνω, *to determine as appropriate* (*Muraoka T.* A Greek-English Lexicon of the Septuagint. P. 660–661). **SD**: «Имеется в виду или ограничение времени до исполнения слова, или сокращение области его действия. То же самое относится к стиху 23».

62 Чтобы увидеть, что напрасно полагались на Египет (*Joannes Chrysostomus*. Interpretatio in Isaiam prophetam (versio Armena) // Op. cit. Էջ 129; *Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 6 // Op. cit. Col. 297).

63 Ассирийцы «устремятся на Египет» (*Joannes Chrysostomus*. Interpretatio in Isaiam prophetam (versio Armena) // Op. cit. Էջ 130). На приморский путь, ведущий в Египет (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 6 // Op. cit. Col. 300).

64 В **MT** вместо «с плечей ваших» — «от лица елея» (вариант перевода: «от тучности»). «Это царь Езекия, Помазанник» (*Ephraem Syrus*. Commentarius in Isaiam prophetam 39C // Op. cit. P. 39). Елей здесь — благодать Святого Духа (*Gregorius Magnus*. Moralia, sive Expositio in Job XXVIII, XV, 24 // PL. 76. Col. 113).

32 παρακαλεῖτε σήμερον ἐν ὁδῷ τοῦ μεῖναι, τῇ χειρὶ παρακαλεῖτε, τὸ ὄρος, τὴν θυγατέρα Σιων, καὶ οἱ βουνοὶ οἱ ἐν Ιερουσαλημ.

33 ἰδοὺ γὰρ ὁ δεσπότης κύριος σαβαωθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται, καὶ οἱ ὑψηλοὶ ταπεινωθήσονται,

34 καὶ πεσοῦνται οἱ ὑψηλοὶ μαχαίρᾳ, ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται[43].

ΙΑ΄

1 Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ιεσσαι, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται.

2 καὶ ἀναπαύσεται ἐπ᾽ αὐτὸν πνεῦμα τοῦ θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας·

3 ἐμπλήσει αὐτὸν πνεῦμα φόβου θεοῦ. οὐ κατὰ τὴν δόξαν κρινεῖ οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει,

4 ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν καὶ ἐλέγξει[44] τοὺς ταπεινοὺς τῆς γῆς· καὶ πατάξει γῆν τῷ λόγῳ[45] τοῦ στόματος αὐτοῦ καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ·

5 καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ καὶ ἀληθείᾳ εἰλημένος τὰς πλευράς.

6 καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν ἄξει αὐτούς·

7 καὶ βοῦς καὶ ἄρκος ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται, καὶ λέων καὶ βοῦς ἅμα φάγονται ἄχυρα.

8 καὶ παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων καὶ ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ.

43 **MT**: וְהַלְּבָנוֹן בְּאַדִּיר יִפּוֹל, «и Ливан от Всемогущего падет».

44 **Θ**: ἐν εὐθύτητι, вариант (**L**) ἐν δικαιοσύνη, «в справедливости» = **MT**: בְּצֶדֶק.

45 **MT**: בְּשֵׁבֶט, «жезлом».

32 Призывайте сегодня на пути ждать, рукой призывайте гору, дщерь Сиона, и холмы, что в Иерусалиме[65].

33 Ибо вот, Владыка Господь Саваоф смятёт прославленных с крепостию, и высокие наглостью сокрушатся, и высокие смирятся,

34 и падут высокие мечом, Ливан же с высокими падёт.

XI

1 И выйдет жезл[66] от корня Иессеева, и цветок от корня взыдет.

2 И почиет на нём Дух Божий, Дух мудрости и разумения, Дух совета и крепости, Дух знания и благочестия;

3 исполнит его Дух страха Божия[67]. Не по славе рассудит, ни по молве обличит,

4 но рассудит смиренному суд и обличит <по справедливости> смиренных земли[68]. И поразит землю словом уст своих, и Духом чрез уста разрушит[69] нечестивого.

5 И будет справедливостью препоясан по чреслам своим и истиною обвязан по ребрам.

6 И пастись будут вместе волк со агнцем, и леопард почивать будет вместе с козлёнком, и телёнок, и бык и лев вкупе пастись будут, и младенец поведёт их.

7 И вол и медведь вкупе пастись будут, и вкупе дети их будут; и лев и вол вкупе поедят солому.

8 И младенец на нору аспидскую[70] и на ложе порождений аспидских руку наложит.

65 «Чтобы она пребывала на этом пути. Каком? Упования на Бога» (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam I, 4 // Op. cit. Col. 304).

66 **MT**: חֹטֶר, «росток», «побег».

67 «Особенно же Дух страха Божия исполнит Его ради тех, которые нуждаются в страхе Божием, так как они младенцы» (*Hieronymus Stridoniensis*. Commentarius in Isaiam prophetam IV, 11 // Op. cit. Col. 145).

68 Нелицеприятие должно быть полным: и богатый, и нищий будут обличены (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam II, 1 // Op. cit. Col. 317).

69 Букв. «устранит».

70 Греч. ἀσπίς — это и египетская кобра, и отряд вооружённых щитами воинов.

9 καὶ οὐ μὴ κακοποιήσωσιν οὐδὲ μὴ δύνωνται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, ὅτι ἐνεπλήσθη ἡ σύμπασα τοῦ γνῶναι τὸν κύριον ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας.

10 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ιεσσαι καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν[46], ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή.

11 καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ προσθήσει κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἂν καταλειφθῇ ἀπὸ τῶν Ἀσσυρίων καὶ ἀπὸ Αἰγύπτου καὶ Βαβυλωνίας καὶ Αἰθιοπίας καὶ ἀπὸ Αιλαμιτῶν καὶ ἀπὸ ἡλίου ἀνατολῶν καὶ ἐξ Ἀραβίας.

12 καὶ ἀρεῖ σημεῖον[47] εἰς τὰ ἔθνη καὶ συνάξει τοὺς ἀπολομένους Ισραηλ καὶ τοὺς διεσπαρμένους τοῦ Ιουδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς.

13 καὶ ἀφαιρεθήσεται ὁ ζῆλος Εφραιμ καὶ οἱ ἐχθροὶ Ιουδα ἀπολοῦνται· Εφραιμ οὐ ζηλώσει Ιουδαν, καὶ Ιουδας οὐ θλίψει Εφραιμ.

14 καὶ πετασθήσονται ἐν πλοίοις ἀλλοφύλων· θάλασσαν ἅμα προνομεύσουσι καὶ τοὺς ἀφ᾽ ἡλίου ἀνατολῶν καὶ Ιδουμαίαν καὶ ἐπὶ Μωαβ πρῶτον τὰς χεῖρας ἐπιβαλοῦσιν, οἱ δὲ υἱοὶ Αμμων πρῶτοι ὑπακούσονται.

15 καὶ ἐρημώσει κύριος τὴν θάλασσαν Αἰγύπτου καὶ ἐπιβαλεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύματι βιαίῳ καὶ πατάξει ἑπτὰ φάραγγας ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑποδήμασι·

16 καὶ ἔσται δίοδος τῷ καταλειφθέντι μου λαῷ ἐν Αἰγύπτῳ[48], καὶ ἔσται τῷ Ισραηλ ὡς ἡ ἡμέρα ὅτε ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου.

46 **MT**: אֲשֶׁר עֹמֵד לְנֵס עַמִּים אֵלָיו גּוֹיִם יִדְרֹשׁוּ, «который поднимется как знамя народов, его племена взыщут».

47 **MT**: נֵס, «знамя».

48 **MT**: אֲשֶׁר יִשָּׁאֵר מֵאַשּׁוּר (аллитерация), «который остался от Ассура».

9 И уже не творят зло, и не могут губить никого на горе святой моей, ибо наполнилось всё познанием Господа, как вода обильная покрывает моря.

10 И будет в день тот корень Иессея и восстающий начальствовать племенами: на него племена уповают, и будет покой его — честь[71].

11 И будет в день тот: продолжит Господь показывать руку Свою[72], ревновать остаток прочий народа, что остался от ассириян, и от Египта, и Вавилонии, и Ефиопии, и еламитян, и от солнечных восходов, и из Аравии.

12 И воздвигнет знамение[73] в племена, и соберёт погубленных Израилевых, и рассеянных Иуды соберёт от четырёх крыльев земли.

13 И отнимется ревность Ефремова, и враги Иудовы погибнут; Ефрем не возревнует Иуде, и Иуда не оскорбит Ефрема.

14 И помчатся на кораблях иноплеменников: море вкупе захватят[74], и тех, что от солнечных восходов, и Идумею, и на Моав прежде руки наложат, сыны же Аммоновы первые покорятся.

15 И опустошит Господь море египетское, и наложит руку свою на реку Духом мощным, и поразит семь протоков, чтобы пройти её в сандалиях.

16 И будет проход оставшемуся Моему народу в Египте, и будет Израилю как день, когда вышел из земли Египетской.

71 «Таков Христов покой — честь почитающим Его как Сына Божия, и Премудрость Божию, и Силу» (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 247 // Op. cit. Col. 553). О гробнице Христа (*Joannes Chrysostomus*. Interpretatio in Isaiam prophetam (versio Armena) // Op. cit. Ⱋϱ 140). Покой Христа во гробе и покой Его в сердцах верующих (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam II, 1 // Op. cit. Col. 328).

72 Святые отцы — Василий Великий, Иоанн Златоуст, Кирилл Александрийский и Иероним Стридонский сходятся на том, что здесь говорится о Новом Завете как ещё одном, особом явлении силы Господней.

73 Знамение — крест (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 249 // Op. cit. Col. 558). «И воздвигнет знамение в народах, чтобы отвратить их от суеверия идольского и собрать рассеянных Израиля» (*Ephraem Syrus*. Commentarius in Isaiam prophetam 41D // Op. cit. P. 41).

74 Победят Змия, гнездящегося в море, и захватят пленённые им народы (*Basilius Caesariensis*. Commentarium in Isaiam prophetam 250 // Op. cit. Col. 560). «Писание обычно называет морем западную сторону» (*Cyrillus Alexandrinus*. Commentarius in Isaiam prophetam II, 1 // Op. cit. Col. 336).

ΙΒ΄

1 Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Εὐλογήσω σε, κύριε, διότι ὠργίσθης μοι καὶ ἀπέστρεψας τὸν θυμόν σου καὶ ἠλέησάς με.

2 ἰδοὺ ὁ θεός μου σωτήρ μου κύριος, πεποιθὼς ἔσομαι ἐπ᾽ αὐτῷ καὶ οὐ φοβηθήσομαι, διότι ἡ δόξα μου καὶ ἡ αἴνεσίς μου κύριος καὶ ἐγένετό μοι εἰς σωτηρίαν.

3 καὶ ἀντλήσετε ὕδωρ μετ᾽ εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου.

4 καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ὑμνεῖτε κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ, μιμνῄσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ.

5 ὑμνήσατε τὸ ὄνομα κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν· ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ.

6 ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε, οἱ κατοικοῦντες ἐν Σιων, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ισραηλ ἐν μέσῳ σου.

XII

1 И скажешь в день тот: Благословлю тебя, Господи, ибо разъярился ты, и отвратил гнев твой, и помиловал меня.

2 Вот Бог мой, Спаситель мой, Господь, уповающим буду на него и не убоюсь, ибо слава моя и похвала моя — Господь, и стал Он мне во спасение.

3 И почерпнёте вы воду с радостью из источников спасения.

4 И скажешь в день тот: Воспойте Господа, призовите имя Его, возвестите в племенах прославленное у Него; воспоминайте, что возвышено имя Его.

5 Воспойте имя Господне, ибо высокое сотворил, возвестите сие по всей земле.

6 Веселитесь и радуйтесь, обитающие на Сионе, ибо возвышен Святый Израиля посреди тебя.

Источники

A New English Translation of the Septuagint and the Other Greek Translations Traditionally Included Under That Title / ed. by A. Pietersma and B. G. Wright. Oxford: Oxford University Press, 2007.

Basilius Caesariensis. Commentarius in Isaiam prophetam // PG. T. 30. Col. 117–668.

Biblia Hebraica Stuttgartensia / ed. K. Elliger et W. Rudolf. Stuttgart: Deutsche Bibelgesellschaft, [5]1997.

Biblia Sacra Vulgata iuxta Vulgatam versionem / rec. R. Weber et R. Gryson. Stuttgart: Deutsche Bibelgesellschaft, [5]2007.

Bibliorum Sacrorum Latinae versiones antiquae seu Vetus Italica. T. 2. Remis: Apud Reginaldum Florentain, 1743.

Cyrillus Alexandrinus. Commentarius in Isaiam prophetam // PG. T. 70. Col. 9–1449.

Der Prophet Jesaia nach der aethiopischen Bibelübersetzung. T. 1: Der aethiopische Text / hrsg. von J. Bachmann. Berlin: E. Felber, 1893.

Gregorius Magnus. Moralia, sive Expositio in Job // PL. T. 76. Col. 9–782.

Hieronymus Stridoniensis. Commentarius in Isaiam prophetam // PL. T. 24. Col. 17–678.

Joannes Chrysostomus. Interpretatio in Isaiam prophetam // PG. T. 56. Col. 345–407.

Origenes. Homiliæ in visiones Isaiæ // PG. T. 13. Col. 219–253.

Monumenta Sacra Inedita: nova collectio. Vol. 4 / ed. C. de Tischendorf. Lipsiae: J. C. Hinrichs, Bibliopola, 1869.

Sancti Aurelii Augustini Confessionum libri XIII / ed. M. Skutella (1934), ed. corr. cur. H. Jurgens et W. Schaub. Berolini; Nova Eboraci: W. de Gruyter, 2009. (BSGRT; vol. 1106).

Sancti patris nostri Ephraem Syri Opera omnia quae exstant Graece, Syriace, Latine: in 6 t. T. 2: Syriace et Latine. Romae: Ex typographia Vaticana, Jo. Mariae Henrici Salvioni, 1740.

Septuaginta. Vol. 14: Isaias / ed. J. Ziegler. Göttingen: Vandenhoeck & Ruprecht, [3]1983.

Septuaginta Deutsch: Die griechische Alte Testament in deutscher Übersetzung / hrsg. von W. Kraus, M. Karrer. Stuttgart: Deutsche Bibelgesellschaft, [2]2010.

The Old Testament in Syriac According to the Peshiṭta Version / ed. on Behalf of the International Organization for the Study of the Old Testament by the Peshiṭta Institute Leiden. Pt. 3/1: Isaiah. Leiden: E. J. Brill, 1993.

Théodoret de Cyr. Commentaire sur Isaïe: en 3 t. / introd., texte crit., trad. et notes par J.-N. Guinot. T. 1: Sections 1–3. Paris: Cerf, 1980. (SC; vol. 276).

Августин, блж. Исповедь / пер. М. Е. Сергеенко. СПб.: Наука, 2013. (Литературные памятники).

Библїа сиреч книгы Ветхаго и Новаго Завета, по языку словенску. Острог: Тип. кн. К. К. Острожского; Печ. Иван Федоров, 1581; М.; Л.: Слово-Арт, [г]1988.

Книги Ветхого Завета в переводе П. А. Юнгерова: Большие пророки. М.: ИС РПЦ, 2006.

Աստվածաշունչ մաթեան. Կոստանդնուպոլիս: Գ. Պաղտատլեան, 1895. [Священное Писание. Константинополь: Г. Пахтатлян, 1895].

Յովհաննես Ոսկեբերան, սր. Մեկնութիին Եսայեայ մարգարէի. Վենետիկ: Սբ. Դազառու, 1880. [*Иоанн Златоуст, св*. Толкование Исаии пророка. Венеция: Типография Св. Лазаря, 1880].

Литература

Графов А. Э. Словарь библейского иврита. М.: Текст, 2019.

Юровицкая М. М. Проблемы лексикографии книги Исайи в Септуагинте // Вестник Свято-Филаретовского института. 2019. Вып. 32. С. 9–28.

A Greek-English Lexicon of the Septuagint / comp. by J. Lust, E. Eynikel, K. Hauspie. Stuttgart: Deutsche Bibelgesellschaft, ^{2}2003.

Comprehensive Aramaic Lexicon. [Электронный ресурс]. URL: https://cal.huc.edu/ (дата обращения 05.05.2025).

Muraoka T. A Greek-English Lexicon of the Septuagint. Louvain; Paris; Walpole (Mass.): Peeters, 2009.

Troxel R. L. LXX-Isaiah as Translation and Interpretation: The Strategies of the Translator of the Septuagint of Isaiah. Leiden; Boston (Mass.): Brill, 2008. (Supplements to the Journal for the Study of Judaism; vol. 124).